αἰωνίας ἀπολαύσουσι ποθεῖ· ἀλλὰ γὰρ τέως ἐπὶ τοῦ παρόντος τούτοις ἡ πάλαι
χήρα καὶ ἔρημος, θεοῦ χάριτι περιυλησθεῖσα τοῖς ἄνθεσι, γέγονεν ἀλη-
θῶς ὡς κρίνον ἣν φησὶν ἡ προφητεία· καὶ τὸ νυμφικὸν ἀναλαβοῦσα στολὴν
τόν τε τῆς εὐπρεπείας περιθεμένη στέφανον, οἷα χορὰ διὰ Ἠσαΐου παι-
δεύεται τὰ χαριστήρια τῷ βασιλεῖ θεῷ φωναῖς εὐφήμοις γεραίρουσα, αὐτῆς
μὲν τοῖς ἐπακούουσιν· ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ· ἐνέδυσε γάρ με ἱ-
μάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης· περιέθηκέ μοι ὡς νυμφίῳ
μίτραν καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ· καὶ ὡς γῆν αὔξουσαν τὸ ἄνθος
αὐτῆς· καὶ ὡς κῆπον τὰ σπέρματα αὐτοῦ ἀνατελεῖ· οὕτως κύριος κύριος ἀνατελεῖ
δικαιοσύνην καὶ ἀγαλλίαμα ἐνώπιον πάντων τῶν ἐθνῶν· τούτοις μὲν οὖν αὕτη
χορεύει· οἷς δὲ ὁ νυμφίος λόγος ὁ οὐράνιος αὐτῆς Ἰησοῦς Χριστὸς αὐτὴν ἀμείβεται
ἄκουε λέγοντος τοῦ κυρίου· μὴ φοβοῦ ὅτι κατῃσχύνθης μηδὲ ἐντραπῇς ὅτι ὠ-
νειδίσθης· ὅτι αἰσχύνην αἰώνιον ἐπιλήσῃ· καὶ ὄνειδος τῆς χηρείας σου
οὐ μὴ μνησθήσῃ· οὐχ ὡς γυναῖκα καταλελειμμένην καὶ ὀλιγόψυχον κέκλη-
κέ σε κύριος· οὐδ' ὡς γυναῖκα ἐκ νεότητος μεμισημένην εἶπεν ὁ θεός σου· χρόνον
μικρὸν ἐγκατέλιπόν σε· καὶ ἐν ἐλέει μεγάλῳ ἐλεήσω σε· ἐν θυμῷ μικρῷ
ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπὸ σοῦ· καὶ ἐν ἐλέει αἰωνίῳ ἐλεήσω σε·
εἶπεν ὁ ῥυσάμενός σε κύριος· ἐξεγείρου ἡ πιοῦσα ἐκ χειρὸς κυρίου τὸ ποτήριον τοῦ θυμοῦ
αὐτοῦ· ποτήριον γὰρ τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ μου ἐξέπιες καὶ
ἐξεκένωσας· καὶ οὐκ ἦν ὁ παρακαλῶν σε ἀπὸ πάντων τῶν τέκνων σου ὧν ἔ-
τεκες· καὶ οὐκ ἦν ὁ ἀντιλαμβανόμενος τῆς χειρός σου· ἰδοὺ εἴληφα ἐκ τῆς
χειρός σου τὸ ποτήριον τῆς πτώσεως τὸ κόνδυ τοῦ θυμοῦ μου· καὶ οὐ προσ-
θήσεις ἔτι πιεῖν αὐτό· καὶ δώσω αὐτὸ εἰς τὰς χεῖρας τῶν ἀδικησάντων
σε καὶ τῶν ταπεινωσάντων σε· ἐξεγείρου ἐξεγείρου ἔνδυσαι τὴν ἰσχύν· ἔνδυσαι
τὴν δόξαν σου· ἐκτίναξαι τὸν χοῦν καὶ ἀνάστηθι· κάθισον· ἔκλυσαι τὸν δεσμὸν
τοῦ τραχήλου σου· ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου καὶ ἴδε συνηγμένα τὰ τέκνα
ἰδοὺ συνήχθησαν καὶ ἦλθον πρὸς σέ· ζῶ ἐγὼ λέγει κύριος ὅτι πάντας αὐτοὺς ὡς
κόσμον ἐνδύσῃ· καὶ περιθήσεις αὐτοῖς ὡς κόσμον νύμφης· ὅτι τὰ ἔ-
ρημά σου καὶ τὰ διεφθαρμένα καὶ τὰ καταπεπτωκότα νῦν στενοχωρήσει ἀπὸ
τῶν κατοικούντων σε· καὶ μακρυνθήσονται ἀπὸ σοῦ οἱ καταπίνον-
τές σε· ἐροῦσι γὰρ εἰς τὰ ὦτά σου οἱ υἱοί σου οὓς ἀπολώλεκας· στενός μοι ὁ
τόπος· ποίησόν μοι τόπον ἵνα κατοικήσω· καὶ ἐρεῖς ἐν τῇ καρδίᾳ σου· τίς ἐ-
γέννησέ μοι τούτους· ἐγὼ δὲ ἄτεκνος καὶ χήρα· τούτους δὲ τίς ἐξέθρεψέ μοι·
ἐγὼ δὲ κατελείφθην μόνη· οὗτοι δέ μοι ποῦ ἦσαν· ταῦτα Ἠσαΐου προεθέσ-